καὶ ἐδούλευσαν αὐτῷ· καὶ οὐκ ἠθέλησεν Σύρος τοῦ βοηθῆσαι τοῖς
υἱοῖς Αμμων ἔτι.
20 [1]Καὶ ἐγένετο ἐν τῷ ἐπιόντι ἔτει ἐν τῇ ἐξόδῳ τῶν βασιλέων καὶ
ἤγαγεν Ιωαβ πᾶσαν τὴν δύναμιν τῆς στρατιᾶς, καὶ ἔφθειραν τὴν
χώραν υἱῶν Αμμων· καὶ ἦλθεν καὶ περιεκάθισεν τὴν Ραββα. καὶ
Δαυιδ ἐκάθητο ἐν Ιερουσαλημ· καὶ ἐπάταξεν Ιωαβ τὴν Ραββα καὶ
2 κατέσκαψεν αὐτήν. [2]καὶ ἔλαβεν Δαυιδ τὸν στέφανον Μολχολ βασι-
λέως αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, καὶ εὑρέθη ὁ σταθμὸς αὐτοῦ
τάλαντον χρυσίου, καὶ ἐν αὐτῷ λίθος τίμιος, καὶ ἦν ἐπὶ τὴν κεφα-
3 λὴν Δαυιδ· καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκεν πολλὰ σφόδρα. [3]καὶ
τὸν λαὸν τὸν ἐν αὐτῇ ἐξήγαγεν καὶ διέπρισεν πρίοσιν καὶ ἐν σκε-
πάρνοις σιδηροῖς· καὶ οὕτως ἐποίησεν Δαυιδ τοῖς πᾶσιν υἱοῖς
Αμμων. καὶ ἀνέστρεψεν Δαυιδ καὶ πᾶς ὁ λαὸς αὐτοῦ εἰς Ιερουσαλημ.
4 [4]Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γαζερ μετὰ
τῶν ἀλλοφύλων. τότε ἐπάταξεν Σοβοχαι ὁ Ουσαθι τὸν Σαφου ἀπὸ
5 τῶν υἱῶν τῶν γιγάντων καὶ ἐταπείνωσεν αὐτόν. — [5]καὶ ἐγένετο
ἔτι πόλεμος μετὰ τῶν ἀλλοφύλων. καὶ ἐπάταξεν Ελλαναν υἱὸς Ιαϊρ
τὸν Λεεμι ἀδελφὸν Γολιαθ τοῦ Γεθθαίου, καὶ ξύλον δόρατος αὐτοῦ
6 ὡς ἀντίον ὑφαινόντων. — [6]καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γεθ, καὶ
ἦν ἀνὴρ ὑπερμεγέθης, καὶ δάκτυλοι αὐτοῦ ἓξ καὶ ἕξ, εἴκοσι τέσσα-
7 ρες, καὶ οὗτος ἦν ἀπόγονος γιγάντων. [7]καὶ ὠνείδισεν τὸν Ισραηλ,
8 καὶ ἐπάταξεν αὐτὸν Ιωναθαν υἱὸς Σαμαα ἀδελφοῦ Δαυιδ. — [8]οὗ-
τοι ἐγένοντο Ραφα ἐν Γεθ· πάντες ἦσαν τέσσαρες γίγαντες, καὶ
ἔπεσον ἐν χειρὶ Δαυιδ καὶ ἐν χειρὶ παίδων αὐτοῦ.
21 [1]Καὶ ἔστη διάβολος ἐν τῷ Ισραηλ καὶ ἐπέσεισεν τὸν Δαυιδ τοῦ
2 ἀριθμῆσαι τὸν Ισραηλ. [2]καὶ εἶπεν ὁ βασιλεὺς Δαυιδ πρὸς Ιωαβ
καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως Πορεύθητε ἀριθμήσατε τὸν
Ισραηλ ἀπὸ Βηρσαβεε καὶ ἕως Δαν καὶ ἐνέγκατέ πρός με, καὶ
3 γνώσομαι τὸν ἀριθμὸν αὐτῶν. [3]καὶ εἶπεν Ιωαβ Προσθείη κύριος
ἐπὶ τὸν λαὸν αὐτοῦ ὡς αὐτοὶ ἑκατονταπλασίως, καὶ οἱ ὀφθαλμοὶ
κυρίου μου τοῦ βασιλέως βλέποντες· πάντες τῷ κυρίῳ μου παῖ-
δες· ἵνα τί ζητεῖ ὁ κύριός μου τοῦτο; ἵνα μὴ γένηται εἰς ἁμαρ-

19 τοις υιοις > B†

20 1 ηλθαν κ. περιεκαθισαν A | ραββα: sic B $2^0$, sed $1^0$ ραββαν; A bis ραββαθ; cf. Regn. II 11 1 12 26. 27. 29 | ιωαβ ult. > B† || 2 μολχομ A || 3 εξηνεγκεν A† | τοις πασιν υιοις pau.] τοις παισιν υιοις B: cf. 22 17; τοις παισιν υιων compl.; πασι τοις υιοις *L*†, πασαις(A† πασιν) ταις πολεσιν υιων AV || 4 σοββοχαι A | ο ουσαθι] θωσαθει B† | σαφου compl.] -φουτ B†, σεφφι A, σαπφ(ε)ι *L*† || 5 ελλαναν Ra. (sic *L*† in Regn. II 21 19)] ελλαν B†, ελεαναν rel. | ια(ε)ιρ] αδειρ A† | λεεμ(ε)ι] ελεμεε B† | ξυλον δορατος] το ξ. του δ. A || 7 σαμαας AV† | αδελφου pl.] pr. υιου BAV || 8 ουτος εγενετο B† | επεσαν A | εν χειρι $1^0 \frown 2^0$ A*†

21 2 ο βασ. > A || 3 ινα τι] τι > B*†, pr. και *L*B^c | ο > B†